ἀνθρώπῳ μόνῳ προσήκει, ᾧ καὶ τὸ βουλευτικὸν ἔνεστι φύσει· τὸ γὰρ βουλεύεσθαι συλλογισμός τίς ἐστιν.

Ὅτι εἰ καὶ διανοίας ἐστὶ καὶ τοῦ βουλευτικοῦ τὰ τῆς ἀναμνήσεως, ἀλλ' ἐν σωματικῷ τινι μέρει τὸ πάθος τουτὶ θεωρεῖται· τὰ γὰρ εἴδωλα τῶν φαντασμάτων ἐνόντα τῇ καρδίᾳ κινεῖ ἡ ἀνάμνησις, ὥστε τέλειον ἀνανεῶσαι καὶ καταστῆσαι ζητοῦσα τὴν μνήμην. Καὶ ἀναλογεῖ ἡ μὲν καρδία τῷ χάρτῃ, τοῖς δὲ γράμμασι τὰ φαντάσματα. Διάνοια δέ ἐστιν ἡ ἀναγινώσκουσα καὶ ἀναμιμνησκομένη ταῦτα ὡς ἐν χάρτῃ τῇ καρδίᾳ. Σημεῖον δὲ τοῦ σωματικόν πως εἶναι τὴν ἀνάμνησιν, ὅτι μὴ δυνάμενοι τινὲς | ἀναμνησθῆναι τινῶν ὧν βούλονται, καὶ θέλοντες ἀφίστασθαι τοῦ (f. 222) ζητεῖν τὴν ἀνάμνησιν, οἱ δὲ καὶ οὕτω πάλιν ἐνοχλοῦνται· κινεῖται γὰρ αὐτῶν ἡ διάνοια, καὶ μὴ βουλομένων, ὡς ὅταν τις πεινῶν καὶ κατέχων ἑαυτόν, ὅμως οὐδὲν ἧττον αὖθις κινεῖται πρὸς τὴν τοῦ φαγεῖν ζήτησιν· τοῦτο δ' οὐκ ἂν ἦν, εἰ μὴ σωματικὸν ἦν πάθος τὸ τῆς ἀναμνήσεως· κινηθείσης γὰρ τῆς καρδίας καὶ τοῦ ἐν αὐτῇ ὑγροῦ ἐν τῷ ἐπιχειρεῖν ἀναμιμνήσκεσθαι, οὐ ῥᾳδίως αὖθις κατέχεται, ἀλλ' ἐνοχλεῖται μὴ τυγχάνουσα καὶ μὴ βουλομένη· ὥσπερ ἂν καὶ εἴ τις μὴ θέλων ἕλκηται παρά τινος εἰς αὐτὸν ἐπιστρέφεσθαι. Δῆλον δὲ τοῦτο ἐν τοῖς μελαγχολῶσιν, ἐν οἷς, φαντάσματός τινος μὴ κατὰ γνώμην κινηθέντος, πάμπολλα σωρηδὸν ἐπεγείρεται καὶ παρενοχλεῖ τὴν διάνοιαν διὰ τὴν εὐκινησίαν τοῦ ἐν τῇ καρδίᾳ αὐτῶν ὑγροῦ· ἡ γὰρ μελαγχολία πνεύματος ὑγροῦ καὶ παχέος ἐστὶ κίνησις· ὥστε δῆλον, ὡς ἡ τῶν φαντασμάτων κίνησις σωματικόν τί ἐστι καὶ ἐν σώματι πάθος, ὡς καὶ ὀργή, ζέσις τοῦ περὶ καρδίαν αἵματος οὖσα, καὶ φόβος ψύξις ὑπάρχων αὐτοῦ, ἃ συμβαίνει τῷ αἵματι, τῶν παθῶν κινηθέντων· καὶ οὐ δύναται λωφᾶν εὐθὺς ἡ κίνησις τοῦ ὑγροῦ ἅπαξ κινηθέντος· ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἀναμνήσεως. Τοῖς δὲ ὑγροτέροις τὸν αἰσθητικὸν τόπον τὸν κατὰ τὴν καρδίαν ταὐθ' οὕτω συμβαίνει· καὶ οἱ τὰ ἄνω δὴ τῶν σωμάτων ἔχοντες μείζω, εἴτουν οἱ νανώδεις λεγόμενοι, ἀμνημονέστεροι τῶν ἐναντίως ἐχόντων εἰσὶν διὰ τὸ πολὺ βάρος ἔχειν ἐπὶ τῷ αἰσθητικῷ τοῦ σώματος μέρει, καὶ μήτε ῥᾳδίως τὰς τῆς μνήμης κινήσεις ἐξ ἀρχῆς ἐν αὐτῷ δύνασθαι γίνεσθαι καὶ διαλύεσθαι γινομένας, μήτε ῥᾳδίως εὐθυπορεῖν ἐν τῷ ἀναμιμνήσκεσθαι.

## Sur le „De somno et vigilia“

### Περὶ ὕπνου καὶ ἐγρηγόρσεως.

Ὅτι ὕπνος καὶ ἐγρήγορσις τῷ αὐτῷ τοῦ ζῴου μέρει ὑπάρχουσιν· ἐν γὰρ τῷ αὐτῷ δεκτικῷ τὰ ἀντικείμενα, ὥστε καὶ ταῦτα ἐν τῷ αὐτῷ. Τὸ δέ ἐστι τὸ αἰσθητικὸν καὶ τὸ αἰσθάνεσθαι· καὶ δῆλον ὡς αἰσθάνεται μὲν ὁ ἐγρηγορῶν, ὁ δὲ ὑπνώττων οὐκ αἰσθάνεται. Ὅθεν ἐν τοῖς ἐμψύχοις

Ε.Υ.Δ.ΦΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς τὸ θρεπτικὸν μόνον ἄνευ τοῦ αἰσθητικοῦ ἔχουσιν οὐκ ἔστιν ὕπνος οὐδὲ ἐγρήγορσις, ὅτι μηδ' αἴσθησις· ἀλλὰ μόνοις τοῖς αἴσθησιν ἔχουσιν. Ἔστι δὲ ἐν τούτοις οὐ θάτερον μόνον ἀεί, τοῖς δὲ θάτερον, ἀλλὰ πᾶσι τοῖς ζῴοις ἑκάτερόν ἐστιν ἀνὰ μέρος· ἐγρηγόρασι γάρ, ἐρρωμένων οὐσῶν f. 222v τῶν αἰσθήσεων καὶ ἐνεργουσῶν. | Ἐπεὶ δὲ ἡ τοιαύτη ἐνέργεια ὡρισμένον ἔχει τοῦ χρόνου τὸ μέτρον, οὐκ εὐτονούσης ὁμοίως ἀεὶ τῆς φύσεως ἐνεργεῖν, ὅταν ἀμβλυνθῇ τὸ αἰσθάνεσθαι, καὶ ἡ ἐγρήγορσις παύει, καὶ ἡ τῆς ἐγρηγόρσεως στέρησις ἤτοι ὁ ὕπνος εὐθὺς ἐπακολουθεῖ, δεσμός τις ὢν καὶ ἀκινησία τοῦ αἰσθητικοῦ μορίου πρόσκαιρος· τό τε γὰρ αἰσθητικὸν μόριον δυνάμει ἐστὶν ἐνεργητικὸν πάντως καὶ ὡρισμένως ἐνεργῆσον· καὶ ὁ ὕπνος ὁμοίως ἐγερτὸς καὶ ἐγερθησόμενος πάντως. Μεταλαμβάνει δὲ τοῦ ὕπνου πάντα τὰ ζῷα σχεδόν, ὅσα ἔχει ὀφθαλμούς· βραχύϋπνα μέντοι ἔνια ἐξ αὐτῶν, καὶ ἄλλα πλέον κοιμώμενα. Ἔστι δὲ οὐ παντὸς τοῦ αἰσθητικοῦ μορίου πάθος ὁ ὕπνος, ἀλλὰ τοῦ ἁπτικοῦ ἰδίως. Αἴτιον δὲ τοῦ ὕπνου, ὡς μὲν τοῦ οὗ ἕνεκα, ἡ σωτηρία τοῦ ζῴου, ὡς μὴ δυναμένου ἄλλως σῴζεσθαι εἰ μὴ διαλείποι πονοῦν ἐν τῷ κινεῖσθαι καὶ ἐνεργεῖν. Ὅθεν εἰώθαμεν καὶ ἀνάπαυσιν λέγειν τὸν ὕπνον, καὶ τὸ ὑπνεῖν ἀναπαύεσθαι. Τέλος δὲ μάλιστα τῆς φύσεως ἁπλῶς ἡ ἐγρήγορσις. Ὑλικὸν δὲ αἴτιον, ὃ καὶ ἐξ ὑποθέσεως ἀναγκαῖον καλεῖται, ἡ τροφή, ὡς ἂν μὴ φθείροιτο ἡ κατὰ τὸ ζῷον ὕλη, μὴ ἐπιγινομένης προσθήκης καὶ ὕλης ἔξωθεν τῷ ἔνδον θερμῷ. Διὰ δὲ τὴν τροφὴν ἡ εἰς τὸν ἐγκέφαλον ἀναθυμίασις ἕπεται, κἀντεῦθεν ὁ ὕπνος· ὅθεν δὴ ἡ ἀρχὴ καὶ ποιητικὸν αἴτιον τὸ πνεῦμα, καὶ ὁ περὶ τὴν καρδίαν τόπος ἰδίως ἀφωρισμένος τῷ πνεύματι. Κινοῦνται δὲ ἔστιν ὅτε τινὲς καὶ καθεύδοντες, καὶ ποιοῦσιν ἐγρηγορικά· φανταζόμενοι γάρ τινα, ἐντεῦθεν κινοῦνται. Τὸ δὲ ἐνύπνιον καὶ φάντασμα αἴσθημά πώς ἐστιν· τοῦ γὰρ κοινοῦ καὶ πρώτου αἰσθητηρίου πάθος· ὥστε ὑπὸ αἰσθητῶν πως κινοῦνται.

Ὅτι οὐ πᾶσα τοῦ αἰσθητικοῦ ἀδυναμία ὕπνος ἐστίν· οὐ γὰρ ἡ λειποψυχία ὕπνος ἐστίν, οὐδὲ καθεύδειν τὸ λειποψυχεῖν· ὅθεν οὐδ' οἱ λειποψυχοῦντες ἐνυπνιάζονται· φαντάζονται μόνον συγκεχυμένως, ὧν οὐ μνημονεύουσιν ἀπαλλαγέντες. Ἀλλ' ἡ ἀναθυμίασις ἡ ἐκ τῆς τροφῆς ὠθεῖται ἄνω· εἰς τὴν κεφαλὴν δὲ γενομένη μετὰ καί τινων περιττωμάτων, διὰ τὴν τοῦ ἐγκεφάλου ψυχρότητα μεταβαλοῦσα, συστᾶσα τε καὶ βαρηθεῖσα, μεταφέρεται ἐπὶ τὴν καρδίαν ὡς ἐν παλιρροίᾳ καὶ καταψύχει ταύτην, κἀντεῦθεν καταφράττει τὸ ἐν αὐτῇ θερμὸν καὶ τὴν πηγὴν τοῦ αἰσθητικοῦ· κἀντεῦθεν καθεύδει τὸ ζῷον, ὡς ἂν πεφθῇ καὶ κρατηθῇ αὖθις ὑπὸ τοῦ θερμοῦ τὸ συστάν, καὶ τότε γρηγορεῖ τὸ ζῷον, ἀποτιναξάμενον τὸ βάρος καὶ ἀπαλf. 223 λαγὲν τῆς καθάρσεως. | Διὸ καὶ μετὰ τὴν τροφὴν μάλιστα οἱ ὕπνοι.

28-29 *λειποψυχία, λειποψυχεῖν* sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Γίνεται δὲ πρῶτον ὁ δισταγμὸς ἐν τῇ ἀνόδῳ τοῦ ὑγροῦ ἐπὶ τὴν κεφαλήν· εἶτα ὁ ὕπνος ἐν τῇ καθόδῳ αὐτοῦ ὃν εἴρηται τρόπον. Καὶ τὰ ὑπνωτικὰ βρώματα, οἷον μήκων καὶ οἶνος καὶ μανδραγόρας, καρηβαρῆ ποιοῦσι πρῶτον, εἶτα εἰς ὕπνον τρέπουσιν. Γίνονται δὲ καὶ ἐκ κόπων οἱ ὕπνοι, συντηκομένης καὶ ὑπ᾿ αὐτῶν τῆς ἐν τῇ κοιλίᾳ καὶ ἐντέροις θερμότητος καὶ ἀναθυμιωμένης καὶ αὖθις παλιρροούσης, ὡς εἴρηται· συντηκτικὸν γὰρ ὁ κόπος, καὶ ἔστι τὸ σύντηγμα ὥσπερ τροφὴ ἄπεπτος, ἐὰν ᾖ θερμόν· γίνεται γὰρ ἐνίοτε ψυχρόν. Φίλυπνοι δέ εἰσιν οἱ λεπτοτέρας ἔχοντες φλέβας καὶ οἱ νανώδεις καὶ οἱ μεγαλοκέφαλοι. Οἱ δὲ μελαγχολικοὶ οὐχ ὑπνώδεις· ψυχρότεροι γὰρ καὶ οὐ πολλὴν ἔχουσιν τὴν ἀναθυμίασιν τοῦ θερμοῦ καὶ ὑγροῦ· διὸ καὶ ἐν ἐνεργείᾳ τροφῆς εἰσιν ἀεί, καὶ βρωτικοὶ καὶ ποθοῦντες ἀεὶ τρέφεσθαι ὡς ξηρότεροι γινόμενοι ὑπὸ τοῦ τοιούτου πάθους. Δῆλον δὲ καὶ ὅτι ἐν τῷ καταψύχεσθαι τὴν ἀναγομένην ἀναθυμίασιν εἰς τὸν περὶ τὸν ἐγκέφαλον τόπον, ψυχροτάτου τοῦ ἐγκεφαλοῦ ὄντος κατὰ φύσιν, καὶ καταψυχομένην ἀντιστρέφειν, ὡς εἴρηται, τὸ μὲν περιττωματικὸν αὐτῆς εἰς φλέγμα συνίσταται, κἀντεῦθεν γίνονται οἱ κατάρροι καὶ τὰ ἀπορριπτόμενα περιττωματικὰ ὑγρὰ ἐκ τῆς κεφαλῆς. Ὅσον δὲ ὑγιὲς αὐτῆς καὶ ἄνοσον ἀντιστρέφει ἄλυτον καὶ συνιστάμενον εἰς τὸν περὶ τὴν καρδίαν τόπον, καταψύχει τὸ ἐνταῦθα θερμόν, καὶ τὸν ὕπνον ποιεῖ. Ἡ τοιαύτη οὖν ἀναθυμίασις μετὰ τὴν τροφὴν γίνεται, καὶ τότε γίνονται καὶ οἱ ὕπνοι. Ἔστι λεπτότερον μὲν καὶ καθαρώτερον αἷμα τὸ γινόμενον ἐν τῇ κεφαλῇ, παχύτερον δὲ καὶ περιττωματικὸν τὸ ἐν τοῖς κάτω μέρεσιν. Διακινουμένου γὰρ μετὰ τὴν πέψιν, τὸ μὲν λεπτότερον καὶ καθαρώτερον τὸν ἄνω λαμβάνει τόπον· τὸ δὲ παχύτερον τὸν κάτω. Ἰστέον δὲ ὅτι κυρίως ἀρχὴν τοῦ αἵματος τὴν καρδίαν λέγει. Παραπεμπόμενον γὰρ εἰς αὐτὴν ἐκ τοῦ ἥπατος ἄπεπτον διὰ φλεβῶν ὡς ἀγγείων τινῶν, ἐν αὐτῇ διακρίνεται, κἀκεῖθεν εἰς πέντε διακεκριμένον μετὰ τὴν πέψιν διαδίδοται. Παραπεμπόμενον δὲ ἐκ τοῦ ἥπατος ἄπεπτον δέχονται αἱ δύο τῆς καρδίας θαλάμαι, αἱ περὶ τὴν μέσην· εἶτα ἡ τελεία διάκρισις αὐτοῦ ἐν τῇ μέσῃ θαλάμῃ γίνεται, κἀκεῖθεν, ὡς εἴρηται, διαδίδοται τοῖς τοῦ σώματος μέρεσιν. Ὁ δὲ Γαληνὸς ἀρχὴν τοῦ αἵματος τὸ ἧπαρ λέγει, κἀκεῖθεν πεπεμμένον καὶ καθαρὸν παρεκπέμπεσθαι αὐτό.

## Sur le „De insomniis"

### Περι ἐνυπνίων.

| Ὅτι τὰ ἐνύπνια καὶ οἱ ὄνειροι τοῦ φανταστικοῦ εἰσιν, οὐκ ἄλλου f. 223v
τῆς ψυχῆς μορίου, καὶ ὅτι ἐνύπνιον μέν ἐστι τι ἁπλῶς μόνον ἐν τῷ ὕπνῳ ὁρώμενον. Φαντάσμα δέ ἐστιν, ὅταν ὁ ὁρῶν αὐτὸ συννοῇ καὶ ὅτι ἐν ὕπνῳ ἐστίν, καὶ ἔστι τοῦτο τρόπον τινὰ ἐγρήγορσις. Καὶ ὅτι κυρίως μὲν οὐχ

Ε.Υ.Δ.Β.Σ.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁρᾷ τις ἐν τῷ ὕπνῳ, οὔτε αἰσθάνεται, ἀλλὰ πάσχει πως ἡ αἴσθησις καὶ ἐν ὕπνῳ ὑπὸ τῶν ὑπολειφθέντων ἐκ τῶν αἰσθητῶν εἰδώλων· τὰ γὰρ ἐν ὕπνοις ὁρώμενα τοῦ αἰσθητικοῦ μέν εἰσιν, ἀλλὰ τοῦτό γε ᾗ φανταστικόν. Δεῖ γὰρ εἰδέναι, ὅτι τὰ αἰσθητήρια, τῶν ἔξωθεν προσπιπτόντων αὐτοῖς αἰσθητῶν καὶ ἀπεληλυθότων, τὰ πάθη παρ' ἑαυτοῖς μένοντα ἴσχει, καὶ διὰ τοῦτο ῥᾳδίως ἀπατῶνται περὶ τὰς αἰσθήσεις ἐν τοῖς πάθεσιν ὄντες, ὅσοι δὴ ὑπό τινων παθῶν κατέχονται, δειλοὶ δηλονότι, ἢ ἐρωτικοί, βραχυτάτῃ τινὶ ὁμοιότητι ἑλκόμενοι εἰς τὸ δοκεῖν εἶναι τὰ φαινόμενα ὅμοια ἢ ταὐτὰ τοῖς ἐν αὐτοῖς πάθεσιν, καὶ μὴ ὄντα. Ὥσπερ οὖν ἐν τῷ ἐγρηγορεῖν, οὕτω καὶ ἐν τῷ καθεύδειν γίνεται, καὶ πολλῷ μᾶλλον διὰ τὴν τῶν αἰσθητηρίων ἀργίαν, ἐκ τῶν ἔξω ἀπησχολημένου τοῦ πρώτου αἰσθητηρίου καὶ τοῖς προειλημμένοις εἰδώλοις ἐνασχολουμένου μόνοις, ἀπάτη γίνεται, πλείοσι τρόποις εὐτάκτου τῆς τῶν εἰδώλων κινήσεως δυναμένης γίνεσθαι καὶ ἀνωμάλου· καὶ ὡς ὁρῶσιν ποιῆσαι, τὸ ἐνύπνιόν ἐστι φάντασμά τι ἐν ὕπνῳ, εἰ καὶ εἰδικώτερον εἴρηται εἶναι τὸ φάντασμα διαφέρον τοῦ ἐνυπνίου. Εἰ δὲ σπανίως συμβέβηκέ τισι μηδαμῶς βλέπειν ἐνύπνιον ἐν τῇ ζωῇ, καὶ ἄλλοις μέχρι πολλοῦ τῆς ἡλικίας μὴ ἑωρακέναι, διὰ τὴν πολλὴν κίνησιν καὶ ὑγρότητα τῆς ὕλης τῶν ἀναθυμιάσεων γίνεται, ὡς μὴ δυναμένων δι' αὐτὴν ὅλως φαντάζεσθαι.

## Sur le „De divinatione per somnum".

### Περὶ τῆς καθ' ὕπνον μαντικῆς.

Ὅτι τὴν καθ' ὕπνους νομιζομένην ὑπὸ πολλῶν μαντικὴν οὔτε πάντῃ προσίεσθαι ῥᾴδιον, οὔτε πάντῃ περιορᾶν· μάλιστα δ' ἂν οἰκεῖον εἴη περὶ αὐτῆς οὕτω σκοπεῖν. Προηγουμένως γὰρ τῶν ἐν τῷ σώματι γινομένων γένοιτ' ἂν ἐνίοτε καὶ σημεῖα καὶ αἴτια τὰ ἐνύπνια, οἷον ἔδοξέ τις ἐν ὕπνῳ βορβορώδεις διέρχεσθαι τόπους καὶ μετ' ὀλίγον νενόσηκεν· οἱ γὰρ παχεῖς καὶ γλίσχροι χυμοὶ σεσημμένοι ἐν τῷ καθεύδειν δῆλοι γίνονται τῇ φαντασίᾳ τοῦ βορβόρου· καὶ δοκοῦσιν ἐν ὕπνοις κεραυνοῦσθαι καὶ βροντᾶσθαι, μικρῶν τινων ἤχων ἐν τοῖς ὠσὶ γινομένων· καὶ μέλιτος καὶ γλυκέων χυμῶν ἀπολαύειν, βλαχέος τινὸς φαντάσματος ἐπιρρέοντος αὐτοῖς· καὶ βαδίζειν διὰ πυρὸς καὶ θερμαίνεσθαι, | f. 224 μικρᾶς θέρμης περί τινα μέρη τοῦ σώματος γινομένης· καὶ οὕτω μὲν σημεῖα γίνεται τὰ ἐνύπνια· αἴτια δὲ οὕτω πως δοκεῖ γίνεσθαι. Ὡς γὰρ τῶν ὕπαρ πεπραγμένων ἐνύπνοις φαντασία γίνεται ἐνίοτε· εὐθυόνειροι γάρ τινες ὄντες, τοῖς καθημέραν ἐνεργουμένοις καὶ νυκτὼρ φανταζομένοις ἐναδολεσχοῦσιν· εὔλογόν ἐστιν οὕτω καὶ προϊδόντας τινὰς ἐνύπνια ὡς ἤδη πεπραγμένα, κινηθῆναι λοιπὸν εἰς τὴν αὐτῶν πρᾶξιν γρηγορήσαντας, εἰ καὶ μὴ πρότερον ἴσως ἐνενόουν περὶ αὐτῶν ὁτιοῦν, ὁδοποιήσεώς τινος γενομένης αὐτοῖς ἐντεῦθεν πρὸς

Ε.Υ. Λάππας Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

τὸ καὶ ἔργῳ τὰ φαντασθέντα μεταχειρίσαι. Γίνονται δὲ τὰ ἐνύπνια ἐνίοτε καὶ ὥσπερ συμπτώματα τῶν ὕπαρ ἐνεργουμένων, καὶ μάλιστα ἐπὶ τῶν πόρρω καὶ ὧν οὐκ ἔστιν ἀρχή τις ἐν τοῖς ὁρῶσιν, οἷον εἶδέ τις ἐν ὕπνοις ναυμαχίαν γινομένην, καὶ ἤκουσεν, οὕτω συμβάν, ναυμαχίαν γενομένην ἐν Φοινίκῃ, ἢ Πόντῳ. Τοῦτο δὲ οὔτε ὡς σημεῖον, οὔτε ὡς αἴτιον ἂν εἴη, ἀλλὰ συμβέβηκεν οὕτως ὥσπερ εἰ τύχοι, μεμνημένον τινὰ τινός, αὐτίκα τοῦτον ἰδεῖν. Καὶ ἡ μνήμη οὔτε σημεῖον, οὔτε αἴτιον τῆς αὐτοῦ θέας.

Ἀποσκευάζεται δὲ καὶ τὸ θεόπεμπτα εἶναι ἐνύπνια. Ἔστι γάρ, φησίν, ὁρᾶν καὶ κύνας ἐν τῷ καθεύδειν μινυρίζοντας ὡς φαντασιουμένους, καὶ οὐ μόνον σπουδαίους ἀνθρώπους καὶ ἐλλογίμους, ἀλλὰ καὶ χυδαίους καὶ φαύλους ἐνυπνιαζομένους οὕτως· οὐδὲν γὰρ κωλύει καὶ φαύλους εὐθυονειρεῖν. Συμβαίνει δὲ ταῦτα μᾶλλον ἐν οἷς ὥσπερ λάλος τίς ἐστιν ἡ φύσις καὶ πολλὰ καὶ παντοῖα προβαλλομένη, ἐξ ὧν πολλῶν συμβαίνει καί τινα συμπτωματικῶς ἐπαληθεύειν τοῖς πράγμασιν· λάλου γάρ, ὡς εἰπεῖν, τοῦτο φύσεως καὶ μελαγχολικῆς, ἧς τὸ πνευματῶδές τε καὶ πολύοχλον· οἳ διὰ τὸ πολλὰ καὶ παντοῖα κινεῖσθαι, καὶ ἐπιτυχεῖς ἔν τισι γίνονται, ὥσπερ καὶ οἱ ἀστραγγαλίζοντες, πολλῶν προβαλλομένων, οὐ καθάπαξ ἀτευκτοῦσιν, ἀλλ' ἐνίοτε καὶ ἐπιτυχεῖς γίνονται, ἐκ τῶν πολλῶν ἁρπάζοντες. Εἰ δέ τινα ἐνύπνια, σημεῖα ὄντα τινῶν ἐν τῷ σώματι γινομένων, ὡς εἴρηται, οὐκ ἀποβαίνουσιν ὕπαρ, οὐ δεῖ θαυμάζειν· καὶ σημεῖα γὰρ ἐν τοῖς σώμασι φυσικὰ ὑγείας ἢ νόσου, καὶ οὐράνια σημεῖα πνευμάτων ἢ ὑετῶν δηλωτικὰ ἀποτυγχάνουσιν ἔστιν ὅτε, ὑπ' ἄλλης τινὸς κινήσεως καὶ αἰτίας ἰσχυροτέρας ἐκκρουσθέντα ἐπισυμβάσης· καὶ πολλὰ τῶν | εὐλόγως καὶ f. 224ᵛ ἀσφαλῶς βουλευθέντων ἐν τοῖς πρακτοῖς ἀθρόᾳ συμβάσει τινῶν ἐπικρατεστέρων διαλύονται· οὐ γὰρ πᾶν γίνεται πάντως τὸ μελλῆσαν γίνεσθαι, οὐδ' ἔστι ταὐτὸν τὸ ἐξ ἀνάγκης ἑπόμενον καὶ τὸ ἐνδεχόμενον γίνεσθαι, καὶ πεφυκὸς καὶ μέλλον εἰκότως ἂν γενέσθαι.

Ἐπεὶ δὲ Δημόκριτος ἔλεγεν ὡς δαιμόνιά τινα εἴδωλα καὶ ἀπορροὰς ἔσω ἐν ἡμῖν γενόμενα, ταῦτα γνωρίζουσιν ἡμῖν, καὶ ὁράσεις παρέχουσιν, καὶ ὥσπερ φωνὰς ταῖς ἀκοαῖς, περὶ ὧν δηλοῦν βούλονται, καὶ μᾶλλον νύκτωρ ἢ μεθ' ἡμέραν, διὰ τὴν ἠρεμίαν τῶν αἰσθητηρίων καὶ τὴν ἀπὸ τῶν ἔξω σχολήν, τὴν μὲν δόξαν Δημοκρίτου οὐ προσίεται, ἄλλην δὲ τίθησιν αἰτίαν τῶν ἀποβαινόντων ἐνυπνίων ὑπερορίοις ἀποτελευτήσεσι χρόνῳ ἢ τόπῳ, ἃ καὶ συμπτώματα ἔφθη εἰπών. Οὐδὲν κωλύει, φησίν, κινήσεώς τινος τοῖς ὑποκειμένοις σώμασιν ἐγγενομένης ὑπὸ τῆς τῶν οὐρανίων σωμάτων φορᾶς, κινεῖσθαί πως ὑπ' αὐτῶν καὶ διατίθεσθαι τὴν γενητὴν φύσιν, αἰσθάνεσθαι δὲ αὐτῆς καὶ τὰς τῶν ἀνθρώπων ψυχάς, τῆς κατὰ διαδοχὴν ἄνωθεν ἀφικνουμένης κινήσεως, καὶ διατίθεσθαί πως ὑπ' αὐτῆς καὶ τυποῦσθαι τοῖς ἐξ αὐτῆς φαντάσμασιν, καὶ τῆς δυνάμεως τῶν πρώτων αἰτίων καὶ κινησάντων οὕτω συναισθανομένας τὰς ψυχὰς

ἐπιλογίζεσθαι καὶ τὰ ἐντεῦθεν ἀποβαίνοντα καὶ τὰ αἰτιατά, ἃ γίνονται ἡμῖν ὑπὸ τῶν πρώτων κινουσῶν ἑκάστοτε ἀρχῶν· εἶναι δὲ ταῦτα μᾶλλον αἰσθητὰ νύκτωρ ἢ μεθ' ἡμέραν, διότι τὰ ἐκεῖθεν φερόμενα ἐν ἡμέρᾳ μᾶλλον διαλύονται, τοῦ ἀέρος ταραχώδους ὄντος κατὰ τὴν ἡμέραν, καὶ διὰ τὴν ἐν τῷ ὕπνῳ ἠρεμίαν, ὡς εἴρηται. Τῶν οὖν ἄνωθεν φερομένων κινήσεων τὰ φαντάσματα ταῦτα ἐν ἡμῖν ποιουσῶν, ἐξ αὐτῶν προορᾶν ἔστι καὶ συλλογίζεσθαι τὰ ἐσόμενα, καὶ διὰ τοῦτο καὶ τοῖς τυχοῦσιν ἐγγίνεται ταῦτα ἀπροσκέπτως, εἰς τὰ τῇδε φερομένων τῶν ἄνω κινήσεων, καὶ τοῖς ἀμαθεστέροις μᾶλλον ἢ τοῖς σπουδαίοις καὶ ἔμφροσιν, διότι ἔρημοι ὄντες οἰκείων κινήσεων λογιστικῶν καὶ κενοί, ἐπειδὰν κινηθῶσιν ἔξωθεν, οὕτω τυχὸν εὐθὺς ἄγονται κατὰ τὸ κινοῦν καὶ τυποῦνται. Ἐν τοῖς ἐκστατικοῖς μάλιστα τοῦτο συμβαίνει, οἵτινες, οἰκείων λογισμῶν οὐκ ἐνοχλούντων αὐτοῖς, τῶν ἔξωθεν παθημάτων αἰσθάνονται μάλιστα. Εἰσὶ δέ τινες καὶ φυσικῶς εὐθυόνειροι, καὶ περὶ τῶν γνωρίμων μάλιστα πραγμάτων οἷοί τε τὰ μέλλοντα προορᾶν ἢ περὶ τῶν ἀλλοτρίων, περὶ ὧν ἧττον φροντίζουσιν.
f. 225 | Αἱ γὰρ γνωριμώτεραι καὶ τῶν γνωριμωτέρων κινήσεις εὐαισθητότεραι. Διότι δὲ ἡ πολλὴ κίνησις ἐντὸς ἐκκρούει καὶ διαστρέφει τὰς ὁμοιότητας, ἐκκοπτομένης ἐντεῦθεν τῆς εὐθυονειρίας, ἐνίοτε ὥσπερ ἐν τοῖς ὕδασιν ἠρεμουμένοις σαφὴς ἡ ἔμφασις τῶν εἰκονιζομένων γίνεται· ἀστατὰ δέ, οὐ ῥᾴδια συνιδεῖν. Δεινότητος δεῖται ἡ ἐν τοῖς τοιούτοις ἐνυπνίοις διάκρισις, ὥσπερ καὶ ἡ τῶν ἐν ὕδασι τεταραγμένων εἰδώλων διάκρισις· καὶ διὰ τοῦτο δεινότερος ἄλλος ἄλλου κριτής ἐστι τῶν ἐνυπνίων, ὁ μᾶλλον ἔχων συμβάλλειν τὰς ἐν τοῖς φαντάσμασιν ὁμοιότητας, εἰ καὶ ὑπό τινος αἰτίας τῶν εἰρημένων ταράττοιντό πως καὶ διαστρέφοιντο: —

Ἰστέον δὲ ὅτι, τῶν ὁμοίως πᾶσιν ἐμφαινομένων ἐνυπνίων καὶ σπουδαίοις καὶ φαύλοις, οὐδὲν εἶναι θεόπεμπτον καλῶς Ἀριστοτέλης φησίν. Φυσικῶς γὰρ περὶ τῶν τοιούτων προστεθειμένων αὐτῷ σκοπεῖν, καὶ ὡς περὶ φυσικῶν τὰ φυσικῶς γινόμενα τῇ σκέψει μόνον προτίθησιν· ἄλλως τε οὐδ' οἷόν τ' ἂν ἦν οὐδὲ βουληθέντι τὰς θεόθεν ἀποκαλύψεις ἔχειν εἰδέναι, τοιούτοις οὐκ ἐνησκημένῳ μαθήμασιν οὔπω φανερωθεῖσιν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν Ἑλλάδι τότε σοφοῖς, εἰ καί, ὡς οἷόν τε ἦν, αὐτὸς ἐγγυτάτω τῆς ἀληθείας ὑπὲρ τοὺς ἄλλους ἐκείνους ἐν πολλοῖς ἔρχεται, ὥσπερ ἕνα Θεὸν καὶ μίαν πάντων ἀρχὴν ἐν τοῖς Μετὰ τὰ φυσικὰ τίθησι, φειδομένως μέντοι δέει τῶν ἁπλουστέρων· κἀνταῦθα τὰς τῶν οὐρανίων κινήσεις ὡς τὸ αἰτιῶδες ἐχούσας ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, καὶ ὅλως τοῖς γεννητοῖς αἰτίας ἐνίοις τῶν καθ' ὕπνους τίθησι μαντευμάτων, διαδόσει τινὶ τῆς ψυχῆς ἁπτομένας ὡς ἐν ὕπνοις μάλιστα ἠρεμούσης, καίτοι Δημόκριτον οὐ προσίεσθαι προσποιεῖται, τοὺς θεοπέμπτους μαντευόμενον προφητείας· μαντεύεται γὰρ καὶ αὐτὸς περὶ ὧν οὐκ ἂν ἠδύνατο πεπαιδεῦσθαι.

Ε.Υ.Δ. τηρ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τὰ δ' εἰς τὴν θείαν ἀνήκοντα κατοχήν, ἧς οἱ σπουδαῖοι καὶ κατὰ τοῦτον μόνοι τυγχάνουσιν, οὐκ ἀκολουθοῦντα τῇ φύσει, ἀλλ' ὑπερφυῆ τὴν αἰτίαν ἔχοντα καὶ τῆς θείας ἠρτημένα μόνης ἀμέσως βουλήσεως, τῆς ὑψηλοτάτης καὶ θείας σοφίας ἐστὶ μόνης σκοπεῖν καὶ τὴν φυσικὴν καθάπαξ ὑπερβαινούσης, ἣν οἳ μὲν πείρᾳ μαθόντες, οἳ δ' ἐκ τῶν τοιούτων περιληφότες, οἱ τῆς χριστιανικῆς θρησκείας ἠξιωμένοι μόνοι τυγχάνουσιν ἔχοντες· ἥτις δὴ θρησκεία τὴν περὶ τοὺς ἀνθρώπους τοῦ ἀληθοῦς καὶ μόνου Θεοῦ καὶ πάντων δημιουργοῦ καὶ προμηθέως τῶν ὄντων εἰδικωτάτην | πρόνοιαν φυσικῶς τε ἐκ τῶν πρώτων ἀρξαμένην σπερμάτων καὶ f. 225v παιδαγωγήμασιν ἐκ τοῦ παλαιοῦ νόμου λαμπρότερον ἀποκαλυφθεῖσαν, καὶ τελευταῖον τῷ φωτὶ τῆς θείας οἰκονομίας ὡς τῆς ὑπερφυοῦς εἰς ἡμᾶς χάριτος ὑπερλάμψασαν, ὕλην ποιεῖται λεπτοτέραν ὁμοῦ καὶ ἀληθεστέραν πάσης φυσικῆς ἐπισκέψεως. Καὶ ταύτης τῆς θείας προνοίας μέρος οὐ τὸ τυχὸν ἡ ἐπίπνοια καὶ ἡ κατοχὴ τοῦ θείου πρὸς τοὺς δι' ἀρετῆς αὐτῷ συνημμένους, ὡς οἷόν τε, αὐτῶν τε χάριν ἐπὶ μείζονι ἐς ἀρετὴν προκοπῇ καὶ τοῦ κοινῇ τοῖς πιστεύουσιν ὠφελίμου, τὰς αὐτῶν διανοίας ἀμέσως ἀπείρῳ δυνάμει καταλαμβάνουσα, καὶ τῷ πεφυκότι τοῦ διανοητικοῦ τῆς ψυχῆς ὁμοῦ τε προστιθεῖσα παρασκευὴν ὑπερφυέσι θεωρήμασι πρέπουσαν, καὶ αὐτὰ προτιθεῖσα. Ὅσοις δὲ τρόποις τὴν τοιαύτην ἐπίπνοιαν λέγουσιν ἱεροὶ καὶ τῷ θείῳ πεφωτισμένοι Πνεύματι ἢ ἐγρηγόρσιν, ἢ ἠρέμα ὑπνώττουσι καὶ καθάπερ ἐν ἐγρηγόρσει γίνεσθαι τοῖς τοιούτων δώρων ἀξίοις, ἢ καὶ ἄλλοις, ὅπως ἂν τοιούτων ἄξιοι γένοιντο δώρων, ἴσασιν οἱ τῶν ἱερῶν ἐκείνων τοῖς λόγοις προσέχοντες: †

## Sur le „De animalium motione".

### Ἐκ τοῦ περὶ ζῴων κινήσεως.

Ὅτι διαφόρων οὐσῶν τῶν τοπικῶν κινήσεων· τὰ μὲν γὰρ κινεῖται πτήσει, ὡς ὄρνιθες· τὰ δὲ νεύσει, ὡς ἰχθύες· τὰ δὲ πορείᾳ, ὡς τὰ τετράποδα· τὰ δὲ ἕρψει, ὡς τὰ συρόμενα· μία ἐστὶ κοινή, φησίν, αἰτία πᾶσι τοῦ οὕτω κινεῖσθαι, ἣν δεῖ ζητοῦντας εὑρίσκειν.

Ὅτι ἐν ἑκάστῳ τῶν κινουμένων ἔνεστί τι πρῶτον ἀκίνητον, ἀφ' οὗ ἡ κίνησις, καὶ ἀδύνατόν τι κινεῖσθαι, μηδενὸς ἠρεμοῦντος, ὡς ἐν τῷ παντὶ τῷδε ἡ γῆ ἔχει ἀκίνητος οὖσα, τῶν ἄλλων περὶ αὐτῆς κινουμένων, καὶ ὡς ἔτι μᾶλλον καθολικώτερον ἀποδέδεικται ἐν τῷ θῆτα τῆς Φυσικῆς ἀκροάσεως, εἶναί τι πρῶτον ἀκίνητον δεῖν, εἰ μέλλοι ὅλως τὸ πᾶν κινεῖσθαι· οὕτω καὶ τὸ πλοῖον ἔξωθεν κοντῷ ὠθούμενον κινεῖται διὰ τὸ τὸν ἔξωθεν ὠθοῦντα, ἐπὶ ἄλλου τινὸς ἐρειδόμενον ἤτοι τῆς γῆς, αὐτὸ κινεῖν· ἔνδον δὲ αὐτοῦ ἐρειδόμενος, οὐκ ἂν ὁμοίως ὠθῶν κινήσειεν· μέρος γάρ ἐστιν αὐτοῦ· καὶ ὁ ἄνεμος ἔξωθεν φυσῶν, τὸ πλοῖον κινεῖ. Εἰ δ' ἐν-

ἔσωθεν φυόμενος μόνον καὶ τῷ πλοίῳ ἐρειδόμενος ἐκίνει, οὐκ ἂν ἠδύνατο κινεῖν.

Ὅτι καὶ περὶ τῆς τοῦ οὐρανοῦ κινήσεως τελείας ταῦτα δεῖ τιθέναι ἀναγκαίως, πρῶτον ὅτι τὸ τὸν οὐρανὸν κινοῦν ἀκίνητον εἶναι δεῖ, ὡς
f. 226 ἀμερὲς καὶ ἀσώματον καὶ μὴ θιγγάνον τινὸς ἐν τῷ κινεῖν· | δεύτερον, ὅτι ἑπομένως οὐδὲ μόριόν ἐστι τοῦ οὐρανοῦ τὸ κινοῦν αὐτόν· τρίτον, ὅτι οὐδ᾽ ἐν τῷ οὐρανῷ ἔστι τὸ κινοῦν αὐτόν, ὡς ὁ κυβερνήτης τυχὸν ἐν τῷ πλοίῳ, ἢ ἐν τῷ ζῴῳ ἡ ψυχή. Ἐπὶ τούτοις φησὶν ὅτι οὐδὲ λύεσθαι ἐνδέχεται τὴν τοῦ παντὸς τοῦδε σύστασιν ὡς ἐξ ἀκινήτου παντάπασιν οὕτω τῆς ἀρχῆς ἠρτημένην ἔξωθεν, πρὸς ἣν οὐδὲν ὁτιοῦν πέφυκε δύναμιν ἔχειν.

Ὅτι τὰ ζῷα ἢ διανοίᾳ κινεῖται, ἢ φαντασίᾳ σκοποῦ τινος καὶ τέλους. Κινεῖ δὲ ταῦτα βούλησις καὶ ἐπιθυμία, καὶ σαφέστερον εἰπεῖν, νοῦς καὶ ὄρεξις. Αἴσθησις μὲν γὰρ καὶ φαντασία ὑπὸ τὸ νοητικὸν ἀνάγονται, καθόσον καὶ αὐταῖς ὑπάρχει τὸ κριτικόν· βούλησις δὲ καὶ θυμὸς καὶ ἐπιθυμία ὑπὸ τὸ ὀρεκτικὸν ἀνάγονται· ὀρέξεις γάρ τινες ταῦτα εἰσίν. Ἡ δὲ προαίρεσις κοινόν τι διανοίας καὶ ὀρέξεως· οὐ γὰρ τὸ διανοεῖσθαι ἁπλῶς προαιρεῖσθαί ἐστιν· διανοητὰ γὰρ τὰ μαθηματικά, ἀλλ᾽ οὐ προαιρετά. Τὰ δὲ πρακτὰ μόνα προαιρετά, τοῦ ὀρεγομένου καὶ κρίσει τινὶ προαιρουμένου· ὥστε καλῶς εἴρηται κοινόν τι εἶναι τὴν προαίρεσιν διανοίας τε καὶ ὀρέξεως, καὶ μηδετέρου μόνου.

Ὅτι τὸ πρῶτον κινοῦν ἤτοι τὸ θεῖον κινεῖ μὴ κινούμενον, ὡς ἀπεδείχθη ἐν ταῖς ἀρχαῖς, καὶ ἀϊδίως κινεῖ, μόνου ἑαυτοῦ καὶ μηδενὸς ἔξωθεν ἐφιέμενον· τελειότατον γάρ. Τὰ δὲ ζῷα κινεῖ τὸ ἐν αὐτοῖς ὀρεκτικόν, κινούμενον καὶ αὐτὸ ὑπὸ τοῦ ἔξωθεν ὀρεκτοῦ ἢ κατὰ αἴσθησιν, ἢ κατὰ φαντασίαν·

Ὅτι ἐν τοῖς διανοητοῖς τὸ συμπέρασμά ἐστι λόγος ταῖς προτάσεσιν ὁμοίως· ἐν δὲ τοῖς πρακτοῖς τὸ συμπέρασμα πρᾶξίς ἐστιν, οἷον *παντὶ βαδιστέον ἀνθρώπῳ*· τοῦτο πρότασις μία· αὐτὸς δὲ ἄνθρωπος ἔστιν· τοῦτο ἑτέρα πρότασις· καὶ εὐθὺς βαδίζει· ὡσαύτως καὶ ἐπὶ τοῦ ἐναντίου· *οὐδενὶ βαδιστέον ἀνθρώπῳ*· αὐτὸς δὲ ἄνθρωπος, καὶ εὐθὺς ἠρεμεῖ. Δεῖ δὲ ἐνεῖναι τῷ συμπεράσματι τῆς πράξεως τό τε ἀγαθὸν τῷ πράττοντι καὶ τὸ δυνατόν· ἀγαθὸν δὲ τὸ δοκοῦν, ἢ καὶ τοιοῦτον ὄν, ἢ μή, δοκοῦν δὲ μόνον. Ἐνίοτε δέ, ὡς ἐπὶ τῶν διαλέξεων, ἡ μία πρότασις ἐρωτᾶται μόνη, ὅταν ἡ ἑτέρα καθάπαξ ᾖ δήλη· οὕτω καὶ περὶ τῶν πρακτέων διανοούμενοι, τῇ μιᾷ χρῶνται μόνῃ, οἷον τὸ βαδίζειν ἀνθρώποις ἀγαθόν, καὶ αὐτίκα βαδίζουσιν, κἀντεῦθεν τὰ πολλὰ σφάλλονται μὴ λογιζόμενοι ἀκριβῶς, ἀλλὰ σπεύδοντες· καὶ χάριν ὑποδείγματος, λέγει ἡ ἐπιθυμία·
f. 226v ποτέον μοι· ὁ δὲ νοῦς, ἢ ἡ αἴσθησις, ὅτι τοδὶ ποτόν, καὶ αὐτίκα | πίνω. Κινεῖται δὲ τὸ ζῷον, κινηθέντος τοῦ ἐν τῇ καρδίᾳ πνεύματος ὑπὸ τῆς συναισθήσει τινί, ἢ φαντασίᾳ, ἢ νῷ ὀρέξεως, καὶ ὑπ᾽ αὐτοῦ κινηθέντων

Ε.Υ.Ζ.ΑΠ.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

αὖ τῶν ἐχομένων νεύρων, καὶ ἐκείνων αὖ κινούντων τὰ αὐτῶν ἐχόμενα, καὶ τοῦτο κατὰ διαδοχήν, ἕως ἂν εἰς τὰ ὀργανικὰ μέρη χεῖρας καὶ πόδας φθάσῃ ἡ κίνησις. Γινομένης δὲ ἀλλοιώσεως περὶ τὴν καρδίαν κατὰ θερμότητα, ἢ ψύξιν, ἢ ἄλλο τι πάθος, καὶ εἰ βραχεῖά τις εἴη καὶ ὡς εἰπεῖν ἀναίσθητος, πολλὴν ὅμως ποιεῖται διαφορὰν ἐν τοῖς σώμασιν. Ἕπονται γὰρ ἐντεῦθεν ἐρυθήματα καὶ ὠχρότητες καὶ φρίκαι καὶ τρόμοι καὶ τὰ τοιαῦτα· ἔστι τε ἀρχὴ τῆς ἐν τοῖς ζῴοις κινήσεως τὸ διωκτὸν ἐν τοῖς πρακτοῖς, ὡς ἡδύ, καὶ τὸ φευκτόν, ὡς λυπηρόν. Καὶ ψύχει μὲν τὸ λυπηρόν, θερμαίνει δὲ τὸ ἡδύ. Καὶ ψυχρότης ἐντεῦθεν ἕπεται καὶ συστολή, καὶ θερμότης καὶ ἄνεσις ἢ καθ' ὅλον τὸ σῶμα, ἢ κατὰ μόρια ὕπαρ τε καὶ ἐν ὕπνοις. Κινοῦσι δὲ καὶ αἱ μνῆμαι καὶ αἱ ἐλπίδες τοῖς ἐν τῷ πρώτῳ αἰσθητηρίῳ τύποις, ὥστε τὰ μὲν πάθη κινεῖ τὰ ὀργανικὰ μόρια, τὰ δὲ πάθη κινεῖ ἡ ὄρεξις, ταύτην δὲ ἡ φαντασία, ἢ διὰ νοήσεως, ἢ δι' αἰσθήσεως γινομένη ἀποτελεύτησίς τις καὶ ἐκμαγεῖον αὐτῶν. Ἔστι δὲ ὁ τῆς καρδίας τόπος ὡς παρέχων τὴν ὀρεκτικὴν καὶ ὁρμητικὴν τῆς ψυχῆς ἀρχὴν καὶ δύναμιν, τῆς κινούσης· ἔστι γὰρ μέσος τῶν τε ἄνω καὶ κάτω μερῶν, καὶ τῶν δεξιῶν καὶ ἀριστερῶν, καὶ ὡς μέσος δὴ καὶ ἔσχατος καὶ πρὸς πάντα ὁμοίως ἔχων, ἐν ᾧ δὴ τόπῳ μέσῳ καὶ τὸ αἰσθητικόν ἐστι τῆς ψυχῆς· ὥστε ἐντεῦθεν ἐνεργεῖται τοῖς ζῴοις ἡ τῶν μορίων κίνησις, καὶ τὸ ἐν τῷ μέσῳ τούτῳ τόπῳ, τῇ καρδίᾳ δηλονότι, σύμφυτον κινητικὸν πνεῦμα ἓν μέν ἐστι τῇ δυνάμει, ἐνεργείᾳ δὲ γίνεται πλείω ἑνὸς ἐν ταῖς τῶν ζῴων κινήσεσιν· ἠρεμοῦντος γὰρ τοῦ ἑνὸς μέρους τῆς καρδίας καὶ τοῦ ἐν αὐτῷ πνεύματος, ὅπερ ἐστὶ πρὸς τῷ μέρει τοῦ σώματος τῷ μὴ κινουμένῳ, κινεῖται τὸ ἕτερον μέρος, οὗ τὰ νεῦρα κεκίνηται, ὥσπερ τοῦ ἐν ταῖς σκάφαις ὕδατος τὸ μὲν κινεῖται τῇ χειρὶ κινηθέν, τὸ δ' ἠρεμεῖ· ὥστε ἡ ψυχὴ μὲν κινεῖ, μὴ κινουμένη αὐτή· τὸ δὲ σῶμα τῶν ἐμψύχων κινεῖται μόνον, οὐ κινεῖ· τὸ δὲ ἐν τῇ καρδίᾳ σύμφυτον πνεῦμα καὶ κινεῖ καὶ κινεῖται. Καὶ ἔοικε τὸ ζῷον πόλει εὐνομουμένῃ, ἐν ᾗ, τοῦ μονάρχου οἴκοι μένοντος | καὶ μὴ παρόντος πᾶσι τοῖς ἐκεῖ γινομένοις καὶ πανταχοῦ, f. 227
τῶν ὑπηρετῶν ἄλλος ἄλλο τι τοῦ κρατοῦντος παραλαβὼν ἐκπληροῖ πρόσταγμα κατὰ τὴν ὑπ' ἐκείνου παραδιδομένην αὐτοῖς τάξιν. Καὶ ἐν τῷ ζῴῳ γὰρ ἡ ψυχὴ ἑκάστῳ τῶν μορίων τὸ οἰκεῖον δίδωσιν ἔργον, αὐτὴ δὲ οὐκ ἀνάγκην ἔχει κατὰ μέρος ἑκάστοις ἐπιδημοῦσα συναντουργεῖν, ἀλλ' ἐν ἀρχῇ τοῦ σώματος οὖσα, τῇ καρδίᾳ δηλονότι, ἐκεῖθεν παρέχει τοῖς τεταγμένοις ἑκάστοις τὸ δύνασθαι κατὰ φύσιν ἐνεργεῖν τῷ προσπεφυκέναι πῃ αὐτῇ καὶ ἠρτῆσθαι αὐτῆς. Ἐπεὶ δὲ οὐ μόνον τὰς ἑκουσίους ταύτας κινήσεις κινεῖται τὰ ζῷα, ἀλλὰ καί τινας ἀκουσίους ἔνια τῶν μορίων κινεῖται, πλείστας δὲ καὶ μὴ ἑκουσίους, ὅσαι δηλονότι οὐκ ἐκ παντάπασιν ἀβουλήτου ἀρχῆς εἰσι γινόμεναι, τούτων ἁπασῶν ἀρχή ἐστιν ἡ καρδία καὶ τὸ ἐν αὐτῇ πνεῦμα κατὰ τὴν ὁμοίαν τοῖς προειρημένοις ἀκολουθίαν. Ὅθεν κινουμένης τῆς ὕλης, τὰ τοιαῦτα κινεῖται μόρια:



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Sur le „De longitudine et brevitate vitae".

### Ἐκ τοῦ περὶ βραχυβιότητος καὶ μακροβιότητος.

Ὅτι τὴν κατὰ τὸ μακρόβιον καὶ βραχύβιον διαφορὰν τὰ μὲν ἔχουσι τῶν ζῴων καθ' ὅλα τὰ γένη· μακροβιώτερος γὰρ ἄνθρωπος καθόλου ἢ ἵππος· τῶν δὲ κατ' εἶδος ἓν ἐν τοῖς ἀτόμοις ἡ διαφορά· ἄνθρωπος γὰρ ἀνθρώπου μακροβιώτερος, καὶ ἔθνη ἐθνῶν μακροβιώτερα, ὡς τὰ ἐν θερμοῖς τόποις τῶν ἐν ψυχροῖς. Οὔτε δὲ καθόλου τὰ μέγιστα τῶν ἐμψύχων ἀφθαρτότερα καὶ διαρκέστερα· ἵππος γὰρ ἀνθρώπου μείζων ὤν, ὅμως βραχυβιώτερος· οὔτε τὰ ἐλάττω διαρκέστερα· μυῖα γὰρ καὶ τὰ τοιαῦτα ἐπίγεια μόνον εἰσίν. Ἀλλ' οὐδὲ τὰ φυτὰ τῶν ζῴων διαρκέστερα· ἔνια γάρ, ὡς κράμβη καὶ τεῦτλον, ἐπέτεια μόνον, καὶ τῶν ἀναίμων ἔνια τῶν ἐναίμων διαρκέστερα, καὶ ἡ μέλιττα τῶν ψιλῶν. Καὶ τῶν ἐν γῇ ἔνια, ὡς τὰ φυτά, τῶν ἐνύδρων βραχυβιώτερα, καὶ πολλὰ τῶν πεζῶν ζῴων· ὅλως δὲ εἰπεῖν τὰ μὲν μεγάλα φυτὰ μακροβιώτερα τῶν ἄλλων, ἤγουν ὁ φοῖνιξ, καὶ τὰ ἔναιμα τῶν ἀναίμων μᾶλλον, καὶ τὰ πεζὰ τῶν ἐνυδρῶν μᾶλλον, ὥστε τὰ ἐξ ἀμφοτέρων τῶν τρόπων συνδιαγόμενα μακροβιώτερα, ὥσπερ ἄνθρωπος καὶ ἐλέφας, ὅτι πεζὰ ἅμα καὶ ἔναιμα· καὶ τὰ μείζω, ὡς ἐπὶ τὸ πολύ, τῶν ἐλαττόνων μακροβιώτερα· αἴτιον δέ, ὅτι πλεῖον
f. 227v ἔχουσι τὸ ὑγρὸν καὶ θερμόν, καὶ διὰ τοῦτο οὐκ εὐξήρανται. | Τὸ δὲ γηρῶν καὶ τεθνηκὸς ψυχρόν ἐστι καὶ ξηρόν, ὅθεν οὐδὲ διαρκεῖ. Δύο τοίνυν τὰ αἴτια τῆς μακροβιότητος, πλῆθος καὶ ποιόν, ὑγρὸν δηλονότι καὶ θερμὸν ἀρκοῦν καὶ περιττεῦον, ἵνα τὸ μὲν ὕγρον πλεονάζον μὴ εὐξήραντον ᾖ, τῷ δὲ θερμῷ πλεονάζοντι μὴ εὔπηκτον ᾖ τὸ ὑγρόν. Ἔτι, εἰ μέλλοι τι μὴ εἶναι εὔφθαρτον, ἀνάγκη μηδὲ περιττωματικὸν εἶναι· τὸ γὰρ περιττωματικὸν ἢ ὅλην τὴν φύσιν τοῦ ἐμψύχου ἀλλοιοῦν ἀναιρεῖ, ἢ μόριόν τι μεταβάλλον νοσεῖν ποιεῖ, οἷον ἧπαρ, ἢ σπλῆνα, ἤ τι τῶν κυρίων, ᾧ τὸ ὅλον συμφθείρεται· ὅθεν καὶ τὰ πολύσπερμα γηράσκει ταχὺ καὶ τὰ ὀχευτικά, τῷ σπέρματι τοῦ θερμοῦ συνεξιόντος, καὶ τὰ θήλεα τῶν τοιούτων ἀρρένων ἀφθαρτότερα ἐνίοτε εἰσίν, καίτοι προΐησι καὶ αὐτὰ σπέρμα, ἀλλ' ἧττον θερμόν, καὶ ταύτῃ οὐ σφόδρως ζημιοῦν. Ξηραίνει δὲ καὶ ὁ πόνος καὶ θᾶττον γηράσκειν ποιεῖ, τὸ θερμὸν φθείρων. Καὶ ἡ κοιτία φθείρει, μὴ προστιθεμένης ὕλης ἔξωθεν τῷ θερμῷ. Τὰ δὲ φυτὰ τῶν ζῴων μακροβιώτερα, ὅτι τε τὸ ἐν αὐτοῖς ὑγρόν, λιπαρὸν ὂν καὶ οὐχ ὑδατῶδες ἀλλὰ γλίσχρον, οὐκ ἔστιν εὔπηκτον οὐδ' εὐξήραντον, καὶ ὅτι νέα εἰσὶ τὰ φυτὰ κατὰ διαδοχήν, καὶ μόρια αὐτῶν τὰ μὲν γηράσκει καὶ τέμνεται, τὰ δὲ νεωστὶ φύεται κατ' ἔτος, ὅπερ τοῖς ζῴοις οὐ πρόσεστιν· διὸ καὶ διαιρούμενα τὰ φυτὰ ζῇ, ὡς τὰ ἔντομα. Ἑκάστοις γὰρ τῶν μορίων αὐτῶν ἡ αὐτὴ τῆς ψυχῆς ἐστιν ἀρχικὴ δύναμις, καὶ ἕκαστον μόριον δύνα-

31 *ἡ κοιτία* sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ται ῥίζα εἶναι καὶ τὰ λοιπά. Ἁπλῶς δὲ τὰ θήλεα ἐν ἀνθρώποις τῶν ἀρρένων ὀλιγοβιώτερα, ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ἐν τοῖς ἄρρεσι τὰ ἄνω μέρη μείζω εἶναι τῶν κάτω, τὸ δὲ θερμὸν ἐν τοῖς ἄνω ἐστίν, ὃ τῆς ζωῆς αἴτιον· καὶ τῶν φυτῶν τὰ κεφαλοβαρῆ μακροχρονιώτερα.

## Sur le „De senectute et juventute, de vita et morte".

Ἐκ τοῦ περὶ γήρως καὶ νεότητος καὶ ζωῆς καὶ θανάτου.

Ὅτι ἡ ψυχὴ σῶμα μὲν οὐκ ἔστιν, ἐν σώματι δὲ καὶ ἔν τινι μορίῳ ἑνὶ μάλιστα τῷ κυριωτέρῳ ἡ πρώτη ἀρχὴ ψυχικὴ καὶ δύναμίς ἐστιν, ἐν τῇ καρδίᾳ δηλονότι, ἐν ᾗ τὸ θρεπτικόν ἐστι πρώτως καὶ τὸ αἰσθητικὸν αὐτῆς· τῷ γὰρ θρεπτικῷ ζῇ τὰ ζῶντα μόνον· τὰ δὲ ζῷα ζῇ μὲν αὐτῷ τοῖς ἄλλοις ζῶσιν ὁμοίως, αἰσθάνεται δὲ ἰδίως τῷ αἰσθητικῷ, καὶ ἔστιν ἐν τοῖς ζῴοις ἄμφω ὡς ἕν, λόγῳ διαιρούμενα, καὶ ἄμφω ἐν τῇ καρδίᾳ εἰσίν. Καὶ ὅτι μὲν τὸ θρεπτικὸν ἐν τῇ καρδίᾳ καὶ τὸ πρῶτον θερμόν, δῆλον ἐκ τοῦ ἐν τοῖς θανάτοις τελευταίαν αὐτὴν ἀποψύχεσθαι, ὥσπερ
ἀναλυομένης καὶ πάλιν δρομούσης τῆς φύσεως | ἐπὶ τὴν ἀρχήν, καὶ ἐκ f. 228
τοῦ μέσην αὐτὴν εἶναι, ὥστε τοῖς μορίοις ἐπίσης τὴν τροφὴν χορηγεῖν καὶ ἐκ τοῦ ἴσου διαστήματος. Ὅτι δὲ καὶ ἡ αἰσθητικὴ τῆς ψυχῆς δύναμις ἐν τοῖς ζῴοις οὐκ ἄνευ τῆς θρεπτικῆς ἐστιν, ἀλλ' ὡς ἕν τι συνημμέναι εἰσὶν            τῆς ἁφῆς φθειρομένης, ἥτις καθολικωτέρα ἐστὶ τῶν αἰσθήσεων εὐθὺς φθείρεσθαι.

Εἶτα συνάπτει τὰ τοῖς μορίοις τῶν φυτῶν καὶ ζῴων προσήκοντα καὶ τὸ θρεπτικὸν ἢ αἰσθητικὸν ἀποβλέψας, ὃ ἐν τῷ μέσῳ ἵδρυται τῶν φυτῶν ἢ τῶν ζῴων χωρίς, ὃ μέσον ἐστὶν ἡ καρδία, καὶ ὅτι ἐξ ἀνατομῆς ὤφθη τὰ τῆς γεύσεως καὶ ἁφῆς αἰσθητήρια εἰς τὴν καρδίαν τείνειν, ὥστε καὶ τὰ λοιπὰ δεῖν οὕτως ἔχειν. Ἀρχικὸν οὖν τι καὶ ὡς γεννητικὸν ἡ καρδία οὖσα τῶν ἄλλων μορίων καὶ χρηστικόν, εἰκότως καὶ τὸν μέσον αὐτῶν ἔχει τόπον.

Ὅτι τοῦ συμφύτου τοῖς ἄλλοις μορίοις τῶν ζῴων θερμοῦ ἀρχή ἐστι καὶ πηγὴ τὸ ἐγκάρδιον θερμόν· ὅθεν, τῶν ἄλλων μορίων ψυχομένων ποτέ, ἔτι ζῇ τὸ ζῷον· τῆς δὲ καρδίας καταψυχθείσης, θνήσκει. Τῷ γὰρ ἐν αὐτῇ θερμῷ ζῇ τὸ ζῷον· ἡ δὲ τοῦ ἐγκαρδίου θερμοῦ φθορὰ ἢ μάρανσίς ἐστιν τῷ γήρᾳ παρακολουθοῦσα φυσικῶς, ἀτονοῦντος αὐτοῦ τοῦ θερμοῦ, ἢ σβέσις ἐστὶν ὑπὸ τῆς τῶν ἐναντίων διαμάχης φθειρομένου. Γίνονται δὲ καὶ ἄμφω, ὑπολειπούσης τῆς τροφῆς ἀσθενείᾳ τοῦ θερμοῦ. Συμβαίνει δέ, φησίν, ἡ μάρανσις καὶ δι' ὑπερβολὴν τοῦ θερμοῦ οὐκ ἐῶντος καταψύχεσθαι καὶ ἀναπνεῖν καὶ τὴν τροφὴν φθείροντος. Δεῖ γὰρ γίνεσθαί τινα

19 après *εἰσίν* mot illisible par suite de la détérioration du manuscrit



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006